ἀπὸ τῆς ΒΓ ἴσον τὸ ΚΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν
ΑΓ ΓΒ ἴσον ἐστὶ τῷ ΜΖ· τετμήσθω ἡ ΜΗ δίχα κα-
τὰ τὸ Ν· καὶ παράλληλος ἤχθω ἡ ΝΞ ἑκατέρᾳ τῶν
ΜΛ ΗΖ· ἑκάτερον ἄρα τῶν ΜΞ ΝΖ ἴσον ἐστὶ τῷ ἅ-
παξ ὑπὸ τῶν ΑΓΒ· καὶ ἐπεὶ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ
διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ· αἱ ΑΓ ΓΒ ἄρα
ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· τὰ ἄρα ἀπὸ
τῶν ΑΓ ΓΒ ῥητά εἰσι καὶ σύμμετρα ἀλλήλοις· ὥστε καὶ
τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ σύμμετρόν ἐστι
τοῖς ἀπὸ τῶν ΑΓ ΓΒ· ῥητὸν ἄρα ἐστὶ τὸ συγκείμενον
ἐκ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ· καί ἐστιν ἴσον τῷ ΔΛ· ῥητὸν
ἄρα ἐστὶ τὸ ΔΛ· καὶ παρὰ ῥητὴν τὴν ΔΕ παράκειται·
ῥητὴ ἄρα ἐστὶν ἡ ΔΜ καὶ σύμμετρος τῇ ΔΕ μήκει·
πάλιν ἐπεὶ αἱ ΑΓ ΓΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμε-
τροι· μέσον ἄρα ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ τουτέστι
τὸ ΜΖ· καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ
ἄρα ἐστὶ καὶ ἡ ΜΗ καὶ ἀσύμμετρος τῇ ΜΛ τουτέστι τῇ ΔΕ
μήκει· ἔστι δὲ καὶ ἡ ΜΔ ῥητὴ καὶ τῇ ΔΕ μήκει σύμμε-
τρος· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει· καί εἰ-
σιν ῥηταί· αἱ ΔΜ ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον
σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ· δεικτέ-
ον δὴ ὅτι καὶ πρώτη· ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ
μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΓΒ· καὶ τῶν ΔΘ ΚΛ
ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΜΞ· ἔστιν ἄρα ὡς τὸ ΔΘ
πρὸς τὸ ΜΞ, οὕτως τὸ ΜΞ πρὸς τὸ ΚΛ· τουτέστιν ὡς ἡ
ΔΚ πρὸς τὴν ΜΝ, ἡ ΜΝ πρὸς τὴν ΜΚ· τὸ ἄρα ὑπὸ

τῶν ΔΚ ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ· καὶ ἐπεὶ σύμμετρόν ἐστι
τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ· σύμμετρόν ἐστι καὶ τὸ ΔΘ
τῷ ΚΛ· ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστιν· καὶ ἐπεὶ
μείζονά ἐστι τὰ ἀπὸ τῶν ΑΓ ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ·
μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ· ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ
μείζων ἐστί· καὶ ἔστιν ἴσον τὸ ὑπὸ τῶν ΔΚ ΚΜ τῷ ἀ-
πὸ τῆς ΜΝ· τουτέστι τῷ τετάρτῳ τοῦ ἀπὸ τῆς ΜΗ·
καὶ σύμμετρος ἡ ΔΚ τῇ ΚΜ· ἐὰν δὲ ὦσι δύο εὐθεῖαι
ἄνισοι· τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος
ἴσον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει
τετραγώνῳ καὶ εἰς σύμμετρα αὐτὴν διαιρῇ· ἡ μείζων
τῆς ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑ-
αυτῇ· ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ
συμμέτρου ἑαυτῇ·



καί εἰσι ῥηταὶ αἱ ΔΜ
ΜΗ· καὶ ἡ ΔΜ μεῖζον
ὄνομα οὖσα σύμ-
μετρός ἐστι τῇ ἐκ-
κειμένῃ ῥητῇ
τῇ ΔΕ μήκει· ἡ
ΔΗ ἄρα ἐκ δύο ὀ-
νομάτων ἐστὶ πρώτη:-

ξα Τὸ ἀπὸ τῆς ἐκ δύο μέσων πρώτης παρὰ ῥητὴν πα-
ραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων
δευτέραν· ἔστω ἐκ δύο μέσων πρώτη ἡ ΑΒ διῃρημέ-
νη εἰς τὰς μέσας κατὰ τὸ Γ· ὧν μείζων ἡ ΑΓ· καὶ ἐκκείσθω